καὶ τοῦτο τῶν θεῶν τις ὡμολόγηcέ coι,
ὀρθῶc ἀγανακτεῖc· ἔcτι γάρ c' ἐψευcμένος
ἄτοπόν τε πεπόηκ'· εἰ δ' ἐπὶ τοῖc αὐτοῖc νόμοιc
ἐφ' οἷcπερ ἡμεῖc ἔcπαcαc τὸν ἀέρα
τὸν κοινόν, ἵνα coι ⟨καὶ⟩ τραγικώτερον λαλῶ,
οἰcτέον ἄμεινον ταῦτα καὶ λογιcτέον.
τὸ δὲ κεφάλαιον τῶν λόγων· ἄνθρωπος εἶ,
οὗ μεταβολὴν θᾶττον πρὸc ὄγκον καὶ πάλιν
ταπεινότητα ζῶιον οὐδὲν λαμβάνει.
καὶ μάλα δικαίωc· ἀcθενέcτατον γὰρ ὂν
φύcει μεγίcτοιc οἰκονομεῖται πράγμαcιν·
ὅταν πέcηι δέ, πλεῖcτα cυντρίβει καλά.
cὺ δ' οὔθ' ὑπερβάλλοντα, τρόφιμ', ἀπώλεcαc
ἀγαθά, τὰ νυνί τ' ἐcτι μέτριά coι κακά.
ὥcτ' ἀνὰ μέcον που καὶ τὸ λυπηρὸν φέρε.

### 745 (562 K)

Plvtarchvs, *de laude ipsius* 547 c. ἔνιοι μὲν οὖν κολακεύοντεc αὐτοὺc ὥcπερ γαργαλίζουcι . . . οἱ δὲ προcπυνθάνονται καὶ διερωτῶcιν, ὡc παρὰ Μενάνδρωι τὸν cτρατιώτην, ἵνα γελάcωcι·

"πῶc τὸ τραῦμα τοῦτ' ἔχειc;"
"μεcαγκύλωι." "πῶc πρὸc θεῶν;" "ἐπὶ κλίμακι
πρὸc τεῖχοc ἀναβαίνων." ἐγὼ μὲν δεικνύω
ἐcπουδακώc, οἱ δὲ πάλιν ἐπεμυκτήριcαν.

### 754 (544 K)

Porphyrivs, *de abstinentia* iv. 15. καὶ μὴν καὶ τοὺc Cύρουc ἱcτοροῦcι τὸ παλαιὸν ἀπέχεcθαι τῶν ζώιων . . . τὸ μέντοι τῶν